Σύναξη της Παναγίας της Κανάλας στην Κύθνο



Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/3385/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: N/A
Δημιουργία εγγράφου: 24/11/2026 21:13:27

Σύνοψη

Τύπος εορτής: Εορτάζει στις 15 Αυγούστου εκάστου έτους.

Ημ/νια Βίου: N/A

Βιογραφία

Η Παναγία Κανάλα είναι ο ιερός τόπος της Κύθνου. Σύμφωνα με την παράδοση, η εικόνα της Παναγίας αναδύθηκε από το νερό, στην θαλάσσια περιοχή μεταξύ Κύθνου και Σερίφου, και παρουσιάσθηκε στους ψαράδες που ήταν εκείνη την ώρα εκεί. Οι ψαράδες την πήραν στη Κύθνο και έχτισαν την εκκλησία.

Λειτουργικά κείμενα

Μεγαλυνάριον

Χαῖρε, Μητροπάρθενε Μαριάμ, Δέσποινα τοῦ κόσμου καί Βασίλισσα Οὐρανῶν· χαῖρε, Παναγία Κανάλα ἐκ θαλάσσης, ἡμῖν ἐπιδοθεῖσα, δῶρον αἰώνιον.

Ἕτερον Μεγαλυνάριον

Ἄσμασιν συμφώνως Ἀγγελικοῖς, μέλψωμεν Κανάλαν Παναγίαν ἀγνοπρεπῶς· χαῖρε ἐκβοῶντες Αὐτῇ ἐν εὐφροσύνῃ, χαρᾶς ἀτελευτήτου μέγα κειμήλιον.

Ἕτερον Μεγαλυνάριον

Ἰάσεις σωμάτων καί τῶν ψυχῶν, Κανάλα Παρθένε, ἡ Εἰκών Σου ἡ ἱερά, βλύζει ἀενάως τοῖς πίστει προσιοῦσι· καί γάρ ἀδυνατεῖ Σοι οὐδέν, Μητρόθεε.

Ἕτερον Μεγαλυνάριον

Ῥητόρων πολύφθογγοι λαλιαί, ὅλως σιωπῶσι πρό τοῦ τόκου Σου, Μαριάμ· μόνη γάρ ἀνάνδρως Θεόν τόν πρό αἰώνων γεγένηκας, Κανάλα, κόσμου εἰς λύτρωσιν.

Ἕτερον Μεγαλυνάριον

Ἔχει ὡς πολύολβον θησαυρόν, Κύθνου θεία νῆσος τήν Εἰκόνα Σου, Μαριάμ· ἔχει δέ Κανάλα ἀπόρθητον ὡς τεῖχος, πρεσβείας μητρικαῖς Σου, κτίσις ἡ σύμπασα.

Ἕτερον Μεγαλυνάριον

Νεῖλος ὥσπερ ἄλλος ἐπί τῆς γῆς ὤφθης, ὦ Κανάλα Παναγία, παναληθῶς· χάριν ἀκενώτως προχέουσα θαυμάτων, ψυχάς τε τηκομένων θείως εὐφραίνουσα.

Ἕτερον Μεγαλυνάριον

Ὕψος παρθενίας Σου ἐκπλαγείς, Ἄγγελος, Παρθένε, ὁ θεόσταλτος Γαβριήλ, χαῖρε Σοι ἐφώνει, Ἁγνή εὐλογημένη· καί πάντες Σοι, Κανάλα, χάριτας ἄδομεν.

Ἕτερον Μεγαλυνάριον

Μύρῳ τῷ ἁγίῳ καί νοητῷ, ἔχρισε Πατήρ Σε τῶν ἁπάντων καί Βασιλεύς, Πνεῦμα Ἅγιον Σοι, Κανάλα, καταπέμψας, Υἱοῦ Αὐτοῦ καί Λόγου Μήτηρ γενέσθαι Σε.

Ἕτερον Μεγαλυνάριον

Φάλαγγας δαιμόνων τυραννικάς ἴσχυνας, Κανάλα Παναγία, νικητικῶς, κόσμῳ ὡς τεκοῦσα Θεόν, Σταυροῦ τό πάθει, συντρίψαντα τοῦ Ἅδου πᾶσαν τήν δύναμιν.

Ἕτερον Μεγαλυνάριον

Ἦλθον ἀπωλείας εἰς τόν βυθόν, ὅλως καταιγίς με ἐκταράττει τῶν λυπηρῶν· χεῖρα μοι παράσχου, Κανάλα Παναγία, τῆς Σῆς ἐπιστασίας, ὡς εὐσυμπάθητος.

Ἕτερον Μεγαλυνάριον

Ἄνω τῶν Ἀγγέλων αἱ στρατιαί, κάτω τῶν ἀνθρώπων, Παναγία, αἱ πατριαί, ἄδουσι, Κανάλα, Μυστήριον τό μέγα, φρικτῆς οἰκονομίας ἥν ἐπετέλεσας.

Ἕτερον Μεγαλυνάριον

Νύκτα τήν βαθεῖαν καί ἀφεγγεῖ, ὅλως τῷ φωτί Σου διασκέδασας τῷ λαμπρῷ, Ἥλιον τεκοῦσα τόν ἄδυτον τῷ κόσμῳ, Χριστόν, Κανάλα Κόρη, κόσμον αὐγάζοντα.

Ἕτερον Μεγαλυνάριον

Ὑσσώπῳ τῶν θείων Σου πρεσβειῶν, πλῦνον με τοῦ ῥύπου, δυσμορφίας τε τῶν παθῶν, ὅπως τῷ Υἱῷ Σου ὀφθῶ κεκαθαρμένος, Κανάλα Παναγία, ἐν ὥρᾳ Κρίσεως.

Ἕτερον Μεγαλυνάριον

Μάννα τό οὐράνιον νοητῶς δίδως, Παναγία, ὦ Κανάλα, πᾶσι βροτοῖς· ἄρτον ὡς τεκοῦσα ζωῆς τῆς αἰωνίου, Χριστόν τροφήν τῇ κτίσει πάσῃ παρέχοντα.

Ἕτερον Μεγαλυνάριον

Φεῖσαι Κλήρου, Κόρη, καί τοῦ λαοῦ, τοῦ ἐν ἁμαρτίαις περιπίπτοντος χαλεπαῖς· χεῖρας τῷ υἱῷ Σου, Κανάλα Παναγία, ἀνάγουσα καί Τοῦτον ἵλεων ποίησον.

Ἕτερον Μεγαλυνάριον

Εὔας παρηκόου τήν ὀφειλήν, ἔλυσας, Παρθένε, εὐπειθείᾳ Σου πρός Θεόν, πᾶσαν δέ πικρίαν αὐχμοῦ πολυθεΐας μετέτρεψας, Κανάλα, δρόσον εἰς πάντερπνον.

Ἕτερον Μεγαλυνάριον

Ὑδάτων ἐν μέσῳ ἡ Σή Εἰκών, τῆς Κύθνου εὑρέθη, ὦ Κανάλα, ξενοπρεπῶς· ὕδωρ σωτηρίας πηγάζουσα ἀφθόνως καί βλύζουσα θαυμάτων χάριν γλυκύῤῥοον.

Ἕτερον Μεγαλυνάριον

Τόμον εἰς αἰώνιον τῆς ζωῆς γράψον, ὦ Κανάλα Παναγία, Σούς ὑμνητάς· Μήτηρ γάρ ὑπάρχεις Θεοῦ τοῦ κυβερνῶντος, πανσόφῳ ἐξουσίᾳ κόσμον ὅν ἔπλασεν.

Ἕτερον Μεγαλυνάριον

Ἔθνος τῶν Ἑλλήνων τό ἱερόν φύλαττε, Κανάλα Παναγία, ταῖς Σαῖς λιταῖς· φρούρει δέ καί σκέπε ἀεί τήν οἰκουμένην, παρέχουσα εἰρήνην καί μέγα ἔλεος.

Αγιογραφίες / Φωτογραφίες



Παναγία η Κανάλα



Παναγία η Κανάλα



Παναγία η Κανάλα

Οπτικοακουστικό Υλικό



Παναγιά η Κανάλα